# 57

## ΤΟΞΑΡΙΣ Η ΦΙΛΙΑ

ΜΝΗΣΙΠΠΟΣ

Τί φῄς, ὦ Τόξαρι; θύετε Ὀρέστῃ καὶ Πυλάδῃ ὑμεῖς οἱ Σκύθαι 1
καὶ θεοὺς εἶναι πεπιστεύκατε αὐτούς;

ΤΟΞΑΡΙΣ

Θύομεν, ὦ Μνήσιππε, θύομεν, οὐ μὴν θεούς γε οἰόμενοι εἶναι, ἀλλὰ ἄνδρας ἀγαθούς.

ΜΝΗΣΙΠΠΟΣ

Νόμος δὲ ὑμῖν καὶ ἀνδράσιν ἀγαθοῖς ἀποθανοῦσι θύειν ὥσπερ θεοῖς;

ΤΟΞΑΡΙΣ

Οὐ μόνον, ἀλλὰ καὶ ἑορταῖς καὶ πανηγύρεσιν τιμῶμεν αὐτούς.

ΜΝΗΣΙΠΠΟΣ

Τί θηρώμενοι παρ᾽ αὐτῶν; οὐ γὰρ δὴ ἐπ᾽ εὐμενείᾳ θύετε αὐτοῖς, νεκροῖς γε οὖσιν.

ΤΟΞΑΡΙΣ

Οὐ χεῖρον μὲν ἴσως, εἰ καὶ οἱ νεκροὶ ἡμῖν εὐμενεῖς εἶεν· οὐ μὴν ἀλλὰ πρὸς τοὺς ζῶντας ἄμεινον οἰόμεθα πράξειν μεμνημένοι τῶν ἀρίστων, καὶ τιμῶμεν ἀποθανόντας· ἡγούμεθα γὰρ οὕτως ἂν ἡμῖν πολλοὺς ὁμοίους αὐτοῖς ἐθελῆσαι γενέσθαι.

ΜΝΗΣΙΠΠΟΣ

Ἀλλὰ ταῦτα μὲν ὀρθῶς γιγνώσκετε. Ὀρέστην δὲ καὶ Πυλά- 2
δην τίνος μάλιστα θαυμάσαντες ἰσοθέους ἐποιήσασθε, καὶ ταῦτα